εἶναι τῷ νεωτέρῳ πρὸς τὸν πρεσβύτερον. παραπλήσιον δέ
τινα εἶναι καὶ τὸν περὶ τοῦ ἀξιώματος λόγον· πρὸς γὰρ 181
ἄνδρα ἐπὶ καλοκαγαθίας ἥκοντα ἀληθινὸν ἀξίωμα οὔτ᾿
εὔσχημον οὔτ᾿ εὔκαιρον εἶναι προσφέρειν οὔτε παρρησίαν
πάλιν οὔτε τὰ λοιπὰ τῶν ἀρτίως εἰρημένων. παραπλήσια
δὲ τούτοις καὶ περὶ τῆς πρὸς τοὺς γονεῖς ὁμιλίας ἐλέγετο,
ὡσαύτως δὲ καὶ περὶ τῆς πρὸς τοὺς εὐεργέτας. εἶναι δὲ
ποικίλην τινὰ καὶ πολυειδῆ τὴν τοῦ καιροῦ χρείαν· καὶ γὰρ
τῶν ὀργιζομένων τε καὶ θυμουμένων τοὺς μὲν εὐκαίρως
τοῦτο ποιεῖν, τοὺς δὲ ἀκαίρως, καὶ πάλιν αὖ τῶν ὀρεγο-
μένων τε καὶ ἐπιθυμούντων καὶ ὁρμώντων ἐφ᾿ ὁτιδήποτε
τοῖς μὲν ἀκολουθεῖν καιρόν, τοῖς δ᾿ ἀκαιρίαν. τὸν αὐτὸν
δ᾿ εἶναι λόγον καὶ περὶ τῶν ἄλλων παθῶν τε καὶ πράξεων
καὶ διαθέσεων καὶ ὁμιλιῶν καὶ ἐντεύξεων. εἶναι δὲ τὸν 182
καιρὸν μέχρι μέν τινος διδακτόν τε καὶ ἀπαράλογον καὶ
τεχνολογίαν ἐπιδεχόμενον, καθόλου δὲ καὶ ἁπλῶς οὐδὲν
αὐτῷ τούτων ὑπάρχειν. ἀκόλουθα δὲ εἶναι καὶ σχεδὸν
τοιαῦτα οἷα συμπαρέπεσθαι τῇ τοῦ καιροῦ φύσει τήν τε
ὀνομαζομένην ὥραν καὶ τὸ πρέπον καὶ τὸ ἁρμόττον, καὶ
εἴ τι ἄλλο τυγχάνει τούτοις ὁμοιογενὲς ὄν. ἀρχὴν δὲ ἀπε-
φαίνοντο ἐν παντὶ ἕν τι τῶν τιμιωτάτων εἶναι ὁμοίως ἐν
ἐπιστήμῃ τε καὶ ἐμπειρίᾳ καὶ ἐν γενέσει, καὶ πάλιν αὖ ἐν
οἰκίᾳ τε καὶ πόλει καὶ στρατοπέδῳ καὶ πᾶσι τοῖς τοιούτοις
συστήμασι, δυσθεώρητον δ᾿ εἶναι καὶ δυσσύνοπτον τὴν τῆς
ἀρχῆς φύσιν ἐν πᾶσι τοῖς εἰρημένοις. ἔν τε γὰρ ταῖς ἐπιστή-
μαις οὐ τῆς τυχούσης εἶναι διανοίας τὸ καταμαθεῖν τε καὶ
κρῖναι καλῶς βλέψαντας εἰς τὰ μέρη τῆς πραγματείας,

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415481813/107 UNIVERSITÄT LEIPZIG